τὰς γυναῖκας, ὦ γυναῖκες.

Ἕτερα Ὀνόματα Ἄκλιτα.

§. ϙά. Ἄκλιτα δέ εἰσι, τὰ Ἑβραϊκὰ, Ἀδὰμ, Νῶε, Ἀβραὰμ, Ἰακὼβ, Δαβίδ.

§. ϙβʹ. Ἔτι τὰ Ἀριθμητικὰ, ἀπὸ τῶν πέντε μέχρι τῶν ἑκατόν· πέντε, ἓξ, ἑπτά. κ. τ. λ.

§. ϙγʹ. Ἔτι τὰ τῶν γραμμάτων, ἄλφα, βῆτα, κ. τ. λ.

✵. Εὕρηται παρὰ Ξενοφῶντι γάμματα, καὶ σίγματα, ἐν πληθυντικῷ ἀριθμῷ.

§. ϙδʹ. Ἔτι δὲ τὸ βρέτας, δέμας, σέβας, λέπας, σέλας, δέπας, ἦθος, ὄναρ, ὕπαρ, ὄφελος, καὶ χρεών.

## ΚΕΦ. Ηʹ.

## Περὶ Ῥήματος.

§. ϙέ. Ῥῆμα δὲ, τὸ μὲν, ἐνεργητικὸν, τὸ δὲ, Παθητικόν. Τὸ δὲ, ὐδέτερον. Παρέπεται δὲ αὐτῷ ἑπτὰ, Ἔγκλισις, Διάθεσις, Εἶδος, Σχῆμα, Πρόσωπον, Ἀριθμὸς, καὶ Χρόνος.

Περὶ Ἐγκλίσεων.

§. ϙϛʹ. Ἐγκλίσεις μέν εἰσι πέντε· Ὁριστικὴ, οἷον, τύπτω. Προστακτικὴ, οἷον, τύπτε. Εὐκτικὴ, οἷον, εἴθε τύπτοιμι. Ὑποτακτικὴ, οἷον, ἐὰν τύπτω. Ἀπαρέμφατος, οἷον, τύπτειν.

Περὶ Διαθέσεων.

§. ϙζʹ. Διαθέσεις δὲ, πέντε, Ἐνεργητικὴ, οἷον, τύπτω. Παθητικὴ, οἷον, τύπτομαι. Οὐδέτερα, οἷον,